# Scholia on Aelius Aristides: To Capito by Scholia on Aelius Aristides

*ΠΡΟΣ ΚΑΠΙΤΩΝΑ.*

315,4 εἰ δὲ μὴ ἐγγὺς ἐκεῖνον ἔφησας ἡμῶν εἶναι, οὐκ ἂν οὕτω με εὔφρανας, ὡς ὅτι προκατείληψαι δείξας εἰπὼν ὅτι νῦν μᾶλλον φιλεῖ αὐτὸν, ὡς ἐρωτικῶς τοῦ Πλάτωνος ἔχοντα ὃν καὶ αὐτὸς λέγει τιμᾶν ἴσον τῇ αὑτοῦ κεφαλῇ, ἐπιφέρει μεγίστην πίστιν τοῦ φίλτρου, λέγων, ὡς ἐγὼ μὲν ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ τιμῶ τὸν Πλάτωνα, καὶ διὰ τοῦτο καὶ σὲ φιλῶ, ἐραστὴν ὄντα ἐκείνου· εἰ δὲ σὺ, ὦ Καπίτων, μὴ ἴσον ἐμοὶ τὸν Πλάτωνα ἔλεγες, ἀλλὰ καὶ ἐλάττονα, ὅπως εὐφράνῃς με· πᾶς γάρ τις ἀκούσας παρά σου, ὡς κρεῖττόν ἐστι τοῦ παρὰ πᾶσι θαυμαζομένου, πάνυ τε αὐτὸς ἐπὶ τούτῳ ἥδεται, καὶ τὸν λέγοντα κατ᾽ ἄκρας φιλεῖ· εἰ ταῦτα ἔλεγες, εὖ ἴσθι, ὡς οὐκ ἂν οὕτω λέγων εὔφρανάς με, ὥσπερ νῦν εὔφρανας, δείξας ὅτι προκατειλημμένος τυγχάνεις Πλάτωνι, καὶ χαίρεις αὐτῷ καθ᾽ ὑπερβολήν.

316,13_15 εἰ δ᾽ οὖν τις κἀμοὶ θεῶν ἐπιβοηθήσειε—ἵνα προθυμότερον ἀγωνιζοίμην τοῦτο οὕτω λέγε, εἰ δὲ καὶ ἐμοί τις τῶν θεῶν ἐπαρωγὸς ὁ Ἀσκληπιὸς, ἔφην, οὐδὲν ἔσται μοι πλέον ἐκ τῆς βοηθείας, ὅτι οὐκ ἔδειξας ἐμοὶ τὰ ἆθλα τῆς νίκης, ἵνα προθύμως ἀγωνίσομαι. νοεῖται δὲ ἡ τοιαύτη ἀπόδοσις ἐκ τοῦ τί μοι περιέσται, ἢ ἀπὸ τοῦ ἵνα προθυμότερον ἀγωνιζοίμην· νόει ἔξωθεν πῶς προθύμως ἀγωνίσομαι.

317,11,12 οὐκ ἄν μοι δοκεῖ μέσος ἐγγενέσθαι, —περὶ τῶν ὅλων εἰπεῖν ἢ τοσαύτην εἴχομεν ἕνωσιν πρὸς ἀλλήλους καὶ ὁμοιότητα, ὥστε οὐδεὶς ἂν μέσος ἡμῶν εὑρέθη οὐδὲ ἔμελλέ τις περὶ τοῦ ἑτέρου διεξιὼν μὴ συμπεριλαμβάνειν καὶ τὸν ἕτερον· τοῖς γὰρ εἰς ἄκρον τὴν ταυτότητα ἔχουσι τί γένοιτ᾽ ἂν μέσον.

321,1 ἔδει δέχεσθαι τὴν πρόκλησιν ἢ ἐχρῆν ἀμφοτέρους προκαλεῖσθαι εἰς ἔλεγχον, καὶ ἀμφοτέρων παρὰ μέρος ἀκούειν.

321,14,15 οὐδὲ τῆς ὅλης καταστάσεως, ἣν ἐξῆν— ὡς περὶ μέρους εἰπεῖν τὸ ἐλάττονος οὐδέτερόν ἐστι. κατάστασιν δὲ καλεῖ τὴν εὐταξίαν, καὶ τὴν

προσήκουσαν οἰκονομίαν, καὶ τὸ μηδὲν ἔξω τοῦ εἰκότος ἐκφέρεσθαι. λέγει δὲ ὡς οὐκ ἐξῆν τὴν ὅλην κατάστασιν ἐλάττονος ἀξίαν, ἢ ἐλάττω τοῦ παντὸς ἀγῶνος νομίσαι, ὡσπερεὶ μέρος αὐτῆς τυγχάνοντος, ὡς εἰπεῖν· καὶ πᾶσα οἰκονομία κεφάλαιόν ἐστιν εἰς πᾶν ἀγώνισμα· τὸ δὲ ὡσπερεὶ μέρος αὐτῆς.

327,13 οὐκ οἶμαί γε, ἔφη ὁ Λάκων πρός τινα Λάκωνα ποιούμενος ὁ Σωκράτης τοὺς λόγους ἁρπάζει τὴν ἐκείνου ἀπόκρισιν, καὶ αὐτὸς λέγει, οὐκ οἶμαί γε, ἔφη ὁ Λάκων.

329,15 οἶμαι τοῦτο τὸ οἶμαι ὡς ἀπὸ τοῦ Πλάτωνος φέρει.

330,7 ἀλλ᾽ ἐν τούτοις μόνοις ἡμῶν πλείω περιεργάζεται ἐν τοῖς κατὰ τοῦ Ὁμήρου λόγοις πλείονι ἢ ἡμεῖς κατ᾽ αὐτοῦ χρῆται τῇ κατηγορίᾳ.

---